sunt aliquousque. Nam & audax, & fortis pericula sustinet, sed hic quidem sic, ille verò aliter: quæ plurimùm inter se distát. Dicimus autem magnanimum iuxta nominis etymon, veluti vi, & magnitudine animi instructum. Itaque & graui, & magnifico similis videatur: quãdoquidem omnes virtutes quodam modo sectatur. Nam recto iudicio, de rebus maximis, pariter & infimis bonis, pollere, laudabile est. Videntur autem ea magna esse, quæ optimo habitu instructus prosequitur, circa eiusmodi scilicet iucunda. Magnanimitas verò est prestantissima. Iudicat autẽ in vnoquoque maius & minus rectè iuxta sapientis, virtutisque perscriptum. Vnde vel ipsa omnes virtutes, vel ipsam omnes consequuntur. Prætereà, contemptiuus dicitur magnanimus. Singulæ vero virtutes, rerũ præter rationem magnarum sunt cõtemptrices, vt fortitudo periculorum: id enim magnũ inter turpia deputat, & neq. multitudinem omnem iudicat formidandam. Et intemperans voluptates: liberalis opes multas, magnásque spernit, id quod magnanimi esse videtur, eo quòd in paucis occupetur: atq. hæc magna sunt, eo quòd nec cuiuslibet iudicium spectat. Magis quippe magnanimus spectat quid vni sapienti probetur, quàm multitudini, & vulgo. Quemadmodum ad Agathonem dixit Antiphon, malignè defensionem laudantem. Neglectus enim, propria maxime affectio magnanimi. Porro nec vitæ, nec opum, quibus studere magnoperè videntur homines, curam gerit, sed tamen honoris. Itaq. & dolet ignominia affectus, & indigni subiectus imperio: gaudet autem principatum assecutus: vnde cõtraria videtur: Nã circa honores occupari, & quæ vulgus sentiat de se contemnere, non sunt consentanea. Quocirca accuratiùs hæc discutere oportet. Nam honor exiguus, & magnus bifariàm capiuntur: aut enim à multis is, & vulgaribus, aut ab illustribus ille contingit, qui rursus pro re, in qua euenit, differt. Magnus enim non solùm honorantium multitudine, aut qualitate, aut pretio estimatur, sed veritate: vnde & principatus, & reliqua præclara, & studio digna bona censentur, quæ re vera eximia existunt. Quocirca nulla virtus magnitudine caret, qua & amplificare, & ius reddere videtur, in quibus fuerit. Sed enim & inter ceterasvirtutes magnanimitas eminet,

A τῷ ἀνδρείῳ· εἰσὶ γὰρ καὶ περὶ ταὐτὰ καὶ ὁμόσε μέχρι τινός, ὥσπερ ὁ ἀνδρεῖος ὑπομονητικὸς κινδύνων, καὶ ὁ θρασύς· ἀλλ' ὁ μὲν ὡδί, ὁ δ' ὡδί. ταῦτα δὲ διαφέρει πλεῖστον. λέγομεν δὲ τὸν μεγαλόψυχον κατὰ τὴν τοῦ ὀνόματος προσηγορίαν, ὥσπερ ἐν μεγέθει τινὶ ψυχῆς καὶ δυνάμεως. ὥστε καὶ τῷ σεμνῷ καὶ τῷ μεγαλοπρεπεῖ ὅμοιος εἶναι δοκεῖ. ὅτε καὶ πάσαις ταῖς ἀρεταῖς ἀκολουθεῖν φαίνεται. καὶ γὰρ τὸ ὀρθῶς κρῖναι

B τὰ μεγάλα καὶ μικρὰ τῶν ἀγαθῶν, ἐπαινετόν. δοκεῖ δὲ ταῦτ' εἶναι μεγάλα, ἃ διώκει ὁ τὴν κρατίστην ἔχων ἕξιν περὶ τὰ τοιαῦτ' εἶναι ἡδέα. ἡ δὲ μεγαλοψυχία κρατίστη· κρίνει δὲ περὶ τὸ ἕκαστον ἀρετή, τὸ μεῖζον καὶ τὸ ἔλαττον ὀρθῶς, ἅπερ ὁ φρόνιμος ἂν κελεύσειε καὶ ἡ ἀρετή· ὥστε ἕπεσθαι αὐτῇ πάσας τὰς ἀρετάς, ἢ αὐτὴν ἕπεσθαι πάσαις. ἔτι δοκεῖ μεγαλοψύχου

C εἶναι, τὸ καταφρονητικὸν εἶναι, ἑκάστη δ' ἀρετὴ καταφρονητικὴ τῶν παρὰ τὸν λόγον μεγάλων· οἷον ἀνδρία κινδύνων· μέγα γὰρ οἴεται εἶναι τῶν αἰσχρῶν, καὶ πλῆθος οὐ πᾶν φοβερόν· καὶ σώφρων ἡδονῶν μεγάλων καὶ πολλῶν, καὶ ἐλευθέριος χρημάτων. μεγαλοψύχου δὲ τοῦτο δοκεῖ, διὰ τὸ περὶ ὀλίγα σπουδάζειν, καὶ ταῦτα μεγάλα, καὶ οὐχ ὅτι δοκεῖ ἑτέρῳ τινὶ καὶ μᾶλ-

D λον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος, τί δοκεῖ ἑνὶ σπουδαίῳ, ἢ πολλοῖς τυγχάνουσιν. ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα, κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα· καὶ τὸ ὀλίγωρον τοῦ μεγαλοψύχου μάλιστ' εἶναι πάθος ἴδιον. πάλιν περὶ τιμῆς καὶ τοῦ ζῆν καὶ πλούτου, περὶ ὧν σπουδάζειν δοκοῦσιν οἱ ἄνθρωποι, οὐθὲν φροντίζειν περὶ τῶν ἄλλων, πλὴν περὶ τιμῆς. καὶ λυπηθήσοιτ' ἂν ἀτιμαζόμενος καὶ ἀρ-

E χόμενος ὑπὸ ἀναξίου. καὶ χαίρειν μάλιστα τυγχάνων. οὕτω μὲν οὖν δόξειεν ἂν ἐναντίως ἔχειν. τὸ γὰρ εἶναί τε μάλιστα περὶ τιμήν, καὶ καταφρονητικὸν εἶναι τῶν πολλῶν, καὶ δόξης, οὐχ ὁμολογεῖσθαι. δεῖ δὲ τοῦτο διορίσαντας εἰπεῖν. ἔστι γὰρ τιμὴ καὶ μικρὰ καὶ μεγάλη διχῶς. ἢ γὰρ τῷ ὑπὸ πολλῶν τῶν τυχόντων, ἢ τῷ ὑπὸ τῶν ἀξίων λόγου, καὶ πάλιν τῷ ἐπί τινι ἡ τιμὴ

F διαφέρει. μεγάλη γὰρ οὐ τῷ πλήθει τῶν τιμώντων, οὐδὲ τῷ ποιῷ μόνον, ἀλλὰ καὶ τῷ τιμίαν εἶναι· τῇ ἀληθείᾳ δὲ καὶ ἀρχαὶ καὶ τἆλλα ἀγαθὰ τίμια καὶ ἄξια σπουδῆς ταῦτα, ὅσα μεγάλα ἀληθῶς ἐστι, ὥστε καὶ ἀρετὴ οὐδεμία ἄνευ μεγέθους· διὸ δοκοῦσι μεγάλους ποιεῖν ἑκάστη, περὶ ὃ ἐστὶν ἑκάστη αὐτῶν, ὥσπερ εἴπομεν. ἀλλ' ὅμως ἐστί τις περὶ τὰς ἄλλας ἀρετὰς μία μεγαλοψυχία,

ὥσπερ